Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτη-
δεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ
ἔστιν, ἕως ἑνός.

Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν, ἐπὶ τοὺς
υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν,
ἢ ἐκζητῶν τὸν θεόν.

Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν, οὐκ
ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι
τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου
ἐν βρώσει ἄρτου;

Τὸν κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐδειλί-
ασαν φόβῳ, οὗ οὐκ ἦν φόβος.

Ὅτι κύριος ἐν γενεᾷ δικαίᾳ, βουλὴν πτω-
χοῦ κατῃσχύνατε, ὅτι κύριος ἐλπὶς αὐτοῦ ἐστι.

Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον τοῦ ἰσραήλ;
ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν
τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ
εὐφρανθήσεται ἰσραήλ.

Εἰς τὸ τέλος. ψαλμὸς τῷ Δαβίδ. ιδ'.

Κύριε τίς παροικήσει ἐν τῷ σκηνώμα-
τί σου, ἢ τίς κατασκηνώσει ἐν ὄρει